λαὸν ἐκ γῆς αἰγύπτου σώσας· τὸ δεύ-
τερον τοὺς μὴ πιστεύσαντας ἀπώ-
λεσεν· ἀγγέλους τε τοὺς μὴ τηρήσαν-
τας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπο-
λείποντας τὸ ἴδιον οἰκητήριον· εἰς
κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδί-
οις ὑπὸ ζόφον τετήρηκεν· ὡς σό-
δομα καὶ γόμορρα καὶ αἱ περὶ αὐτὰς
πόλεις τὸν ὅμοιον τρόπον τούτοις ἐκ-
πορνεύσασαι· καὶ ἀπελθοῦσαι
ὀπίσω σαρκὸς ἑτέρας· πρόκεινται
δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέ-
χουσαι· ὁμοίως μέντοι καὶ οὗτοι ἐνυ-
πνιαζόμενοι σάρκα μὲν μιαίνουσιν
κυριότητα δὲ ἀθετοῦσι δόξας δὲ
μωϋσέως ἀποκρύφον· βλασφημοῦσιν· ὁ δὲ μιχαὴλ ὁ
ἀρχάγγελος ὅτε τῷ διαβόλῳ διακρι-
νόμενος διελέγετο περὶ τοῦ μωϋσέως
σώματος· οὐκ ἐτόλμησε κρίσιν
ἐπενεγκεῖν βλασφημίας ἀλλ' εἶπεν
ἐπιτιμήσαι σοι κύριος· οὗτοι δὲ ὅσα
μὲν οὐκ οἴδασι βλασφημοῦσιν ὅσα
δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπί-
στανται ἐν τούτοις φθείρονται·

β̅ Οὐαὶ αὐτοῖς ὅτι τῇ ὁδῷ τοῦ κάϊν ἐ-
πορεύθησαν καὶ τῇ πλάνῃ τοῦ
βαλαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ
ἀντιλογίᾳ τοῦ κορὲ ἀπώλοντο·
οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν
σπιλάδες συνευωχούμενοι ἀφόβως
ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι
ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμε-
ναι·

δένδρα φθινοπωρινὰ ἄκαρπα δὶς
ἀποθανόντα· ἐκριζωθέντα· κύματα
ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυ-
τῶν αἰσχύνας· ἀστέρες πλανῆται οἷς ὁ
ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται·
ἐνὼχ ἀποκρύφου· προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος
ἀπὸ ἀδὰμ ἐνὼχ λέγων· ἰδοὺ ἦλθεν
κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ ποιῆσαι
κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάν-
τας τοὺς ἀσεβεῖς περὶ πάντων τῶν
ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν·
καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐ-
λάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς·
οὗτοί εἰσιν γογγυσταί· μεμψίμοιροι·
κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευό-
μενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέ-
ρογκα· θαυμάζοντες πρόσωπα ὠ-
γ̅ φελείας χάριν· ὑμεῖς δὲ ἀγαπη-
τοὶ μνήσθητε τῶν ῥημάτων τῶν προει-
ρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· ὅτι ἔλεγον ὑμῖν ὅτι ἐπ' ἐσ-
χάτου χρόνου ἔσονται ἐμπαῖκται
κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευό-
μενοι τῶν ἀσεβειῶν· οὗτοί εἰσιν
οἱ ἀποδιορίζοντες ἑαυτοὺς ψυχικοὶ
πνεῦμα μὴ ἔχοντες· ὑμεῖς δὲ ἀγαπη-
τοὶ ἐποικοδομοῦντες ἑαυτοὺς τῇ
ἁγιωτάτῃ ὑμῶν πίστει ἐν πνεύματι ἁγίῳ
προσευχόμενοι· ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ
τηρήσατε· προσδεχόμενοι τὸ
ἔλεος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰς ζωὴν αἰ-
ώνιον· καὶ οὓς μὲν ἐλέγχετε διακρι-
νομένους· οὓς δὲ σώζετε ἐκ τοῦ πυρὸς
ἁρπάζοντες· οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ·
μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς
δ̅ ἐσπιλωμένον χιτῶνα· τῷ δὲ δυ-
ναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους
καὶ στηρίξαι κατενώπιον τῆς δόξης
αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει μόνῳ σοφῷ
θεῷ σωτῆρι ἡμῶν διὰ ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν·
δόξα· μεγαλωσύνη· κράτος καὶ ἐξου-
σία πρὸ παντὸς τοῦ αἰῶνος· καὶ νῦν
καὶ εἰς πάντας τοὺς αἰῶνας ἀμήν·

ἰούδα ἐπιστολὴ καθολική :

β̅ πλανισμὸς αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ δυσσε-
βείᾳ καὶ ἀσελγείαις βλασφημίαις καὶ ἐπὶ πλά-
σει ὑποκρίσεως τῆς εἰς ἀπάτην δωροδοκί(ας).

γ̅ π(ερὶ) ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει συμπαθεί-
ας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σπουδαίᾳ
ἐπιδείξει?·

οὐδὲ αἴσθησιν συγχωρεῖ μα-
κεῖν τῶν ἐπιόντων· διὰ
τοι τοῦτο καὶ ὁ μακάριος οὗ-
τος πάντα πράως ἔφε-
ρε τῇ πίστει τῇ ἐς τὸν θν̄.
καὶ τῇ ἐλπίδι τρεφόμενος·
Καὶ ἔκλεισε φησὶ κσ̄ ὁ θσ̄
ἔξωθεν αὐτοῦ τὴν κιβω-
τόν· καὶ ἐγένετο ὁ κατα-
κλυσμὸς τεσσαράκοντα
ἡμέρας καὶ τεσσαράκον-
τα νύκτας ἐπὶ τῆς γῆς.
καὶ ἐπεφέρετο ἡ κιβωτός·
σκόπει πάλιν πῶς τῇ δι-
ηγήσει αὔξει τὸν φόβον· καὶ
ἐξογκοῖ τὸ γεγονημένον·
ἐγένετο γάρ φησιν ὁ κατα-
κλυσμὸς τεσσαράκοντα
ἡμέρας καὶ τεσσαράκον-
τα νύκτας· καὶ ἐπλη-
θύνθη τὸ ὕδωρ. καὶ ἐ-
πῆρε τὴν κιβωτόν· καὶ
ὑψώθη ἀπὸ τῆς γῆς· καὶ
ἐπεκράτει τὸ ὕδωρ· καὶ
ἐπληθύνετο σφόδρα ἐ-
πὶ τῆς γῆς. καὶ ἐπεφέ-
ρετο ἡ κιβωτὸς ἐπάνω τοῦ
ὕδατος· τὸ δὲ ὕδωρ ἐπε-
κράτει σφόδρα σφόδρα ἐ-
πὶ τῆς γῆς· ὅρα πῶς

Ἀκριβῶς ἡμῖν διηγεῖται τὴν
πολλὴν τῶν ὑδάτων φο-
ράν· καὶ ὅτι ἐφ' ἑκάστης
αὔξησιν ἐλάμβανεν ἡ πλημ-
μύρα τῶν ὑδάτων· ὥστε
κράτει γὰρ τὸ ὕδωρ φησὶ
σφόδρα σφοδρῶς· καὶ ἐ-
πεκάλυψε πάντα τὰ ὄρη
τὰ ὑψηλὰ ἃ ἦν ὑποκάτω
τοῦ οὐρανοῦ· δεκαπέντε
πήχεις ὑψώθη ἐπάνω τὸ
ὕδωρ. καὶ ἐπεκάλυψε πάν-
τα τὰ ὄρη· ἵνα κἂν τούτῳ κο-
μώμενος ὁ φιλάνθρωπος δεσπότης
κελευσθῆναι τὴν κιβωτόν. ὥσ-
τε μὴ ὁρᾶν τὸν δίκαιον τὰ
γινόμενα· ἵνα γὰρ ἡμεῖς με-
τὰ τοσοῦτον ἐτῶν ἀριθμόν.
καὶ μετὰ τοσαύτας γενεάς.
ἀκούοντες τῆς γραφῆς τὴν
ἀκρίβειαν καὶ τὴν διήγησιν
συστελλόμεθα καὶ ἐναγω-
νιοι γινόμεθα. τί εἰκὸς ἦν
τὸν δίκαιον ἐκεῖνον πάσχειν.
εἴ γε τοῖς ὀφθαλμοῖς ἑώρα
τὴν ἄβυσσον ἐκείνην τὴν
ἀφόρητον· πῶς γὰρ ἂν ἐ-
δυνήθη κἂν πρὸς βραχὺ
ἀντισχεῖν. οὐχὶ δὲ ἐκ πρώ-
της ὄψεως οὐκ ἂν ἐξέστη.

καρδία καὶ ψυχὴ μία·
καὶ οὐδεὶς τι τῶν ὑ-
παρχόντων ἔλεγεν
ἴδιον εἶναι· ἀλλ' ἦν
αὐτοῖς ἅπαντα
κοινά· ἰδοὺ δὴ
οὖν τί καλὸν ἢ τί τερ-
πνόν· ἀλλ' ἢ τὸ κα-
τοικεῖν ἀδελφοὺς
ἐπὶ τὸ αὐτό· καθὼς
καὶ ἐκλήθητε·
Εἷς κύριος· μία πίστις·
ἓν βάπτισμα· εἷς
θεὸς καὶ πατήρ· ὁ ἐπὶ
πάντων καὶ διὰ
πάντων καὶ ἐν
πᾶσιν· ἰδοὺ δὴ
τί καλὸν ἢ τί τερπνὸν
ἀλλ' ἢ τὸ κατοικεῖν
ἀδελφοὺς ἐπὶ τὸ
αὐτό· οὐκ ἐν οἴκῳ
μόνον σωματικῷ·
ἀλλὰ καὶ ἐν τούτῳ
τῷ ἁγίῳ καὶ πνευματικῷ·
ὁ γὰρ οἶκός μου φησὶν
οἶκος προσευχῆς
κληθήσεται· ἀλλὰ
Καὶ ἡ μετὰ τοῦ αὐτοῦ
μύρου κατηξιώθη-
μεν οἱ φωτισθέντες·
ἐν μύρῳ γὰρ πάν-
τας ἡμᾶς τῇ δικαι-
οσύνῃ αὐτοῦ Χριστὸς ὁ σωτὴρ
ἡμῶν· δι' οὗ καὶ
μεθ' οὗ τῷ πατρὶ καὶ
τῷ ἁγίῳ πνεύματι· δόξα
τιμὴ κράτος καὶ
μεγαλοπρέπεια·
εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ἀμήν:—
πλ(ήρωσις) τῶν ψαλμῶν:—

Ἐπιφανίου ἀνεπίγραφος:
Ὅτι σε φιλῶ, οἶσθ' ἐπιτελλο-
μαθεῖν· ὅτι μὲν μετά σου, οἷς
οἷος πάντων ἄλλων· γράφει
δὲ καὶ ἐν τοῖς μοι τοῦ κα-
λάμου καὶ μέλανι. καὶ
βραχεῖ χάρτῃ· φιλοῦν-
τας, φιλῶν:— τῷ αὐτῷ
ἀλλ' ἀνεπίγραφος:
Ἐν μνημόρισμα τοῦ ζῆν,
ὁ λόγος· πῶς γὰρ
οὐκ ἐνεργὴν εἶναι
νομισθείη· μηδὲ
ποτὲ φθεγγόμενος·
ἀλλ' ἀπεστάσαι τελείως ἐν
πολλοῖς συγγράψας ἡμῖν
ἐνεφάνισας σαυτὸν ὅτι περ
ζῆς:—

ἀρ(χὴ) τῶν ἐπιστολῶν

οὐδ' ὅτι οὐ τεθεολογήκαμεν· οὐδ' ὅτι οὐ τεθεωρήκαμεν·
οὐ γεγόναμεν· ἀλλ' ὅτι λόγον πάντως δώσομεν τῷ
Θεῷ· διὰ τὸ μὴ ἀδιαλείπτως πεπενθήκαμεν +
+ Βάσις ζ΄ ὁ ἀξιωθεὶς καὶ ἱεροῖς ὠνηθεὶς τοῖς· αὐ
τὸς γὰρ ἡ ἀναβεβηκὼς ... τοῦ βαθμοῦ
τοῦ· τὰς τοῦ γάμου τὸν τοῦ κιλίδας ...



περὶ ἀοργησίας καὶ πραότητος +

Ὥσπερ ὕδατος ἐν φλογὶ κατὰ μικρὸν μικρὸν προσ
τιθεμένου· τελείως ἡ φλὸξ κατασβέννυται·
οὕτως καὶ τοῦ ἀληθινοῦ πένθους· πᾶσαν τὴν
φλόγα τοῦ θυμοῦ· καὶ ὀξυχολίας ἀποσβεννύειν
πέφυκεν· διὸ αὐτὸ ἀκολούθως τετάχαμεν· ἀορ
γησία ἐστὶν ἔφεσις ἀτιμίας ἀκόρεστος· ὡς ἐν
τοῖς κενοδόξοις, ἔφεσις ἐπαίνων ἀπέραντος· ἀορ
γησία ἐστὶ· φύσεως νίκη ἐν ἀναισθησίᾳ ὕ
βρεων ἐξ ἀγώνων καὶ ἱδρώτων περιγινομένη·
πραότης ἐστὶν ἀκίνητος ψυχῆς κατάστα
σις ἐν ἀτιμίαις καὶ εὐφημίαις ὡσαύτως
ἔχουσα· ἀρχὴ μὲν ἀοργησίας σιωπὴ χειλέ
ων ἐν ταραχῇ καρδίας· μεσότης δὲ σιωπὴ
λογισμῶν ἐν ψιλῇ ταραχῇ ψυχῆς· τέλος δὲ ἐπὶ
τῇ γεγενημένῃ γαλήνῃ ἐν μέσῳ πνοῶν ἀκαθάρ
των· ὀργή ἐστιν ὑπόμνημα κεκρυμμένου μί
σους· ἤγουν μνησικακίας· ὀργή ἐστιν ἐπιθυ

οἷς ξυνωμόσατε ὦ Ἀθηναῖοι μόνοις τῶν μὲν καταδουλουμένων τὴν Ἑλλάδα, τῶν δ'
ἐλευθερούντων. καὶ οὐκ ἴσην αὐτοῖς [τῶν Ἀθηναίοις] τὴν χάριν ἀνταπέδοτε. οὐ γὰρ αἰσχύνης ἀπηλ-
λαγμένοι ἦν. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτοὺς ὥς φατε ἐπηγάγεσθε, τοῖς δὲ ἀδι-
κοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. καίτοι τὸ μὲν ὁμοίας χάριτας μὴ ἀντιδιδόναι
αἰσχρὸν μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀπο-
διδομένας. δηλώσαντες ἐποιήσατε. οὐ γὰρ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδί-
σαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι. ὑμεῖς γὰρ τοῖς μὲν ταὐτὰ βουλομένοις ποιεῖν, τοῖς
δὲ τἀναντία. καὶ νῦν ἀξιοῦτε ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοί, ἀπὸ τούτων
ὠφελεῖσθαι. ἀλλ' οὐκ εἰκός. ὥσπερ γὰρ Ἀθηναίους εἵλεσθε, τούτοις ξυνα-
γωνίζεσθε. καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν, ὡς
χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. ἀπελίπετε γὰρ αὐτήν. καὶ παραβάντες ξυγκατε-
δουλοῦσθε μᾶλλον Αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων ἢ διεκωλύετε.
Καὶ ταῦτα οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους οἷσπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς
ὑμᾶς βιασαμένου ὥσπερ ἡμᾶς. τὴν τελευταίαν τε πρὸ τῆς περιτειχίσεως ἡμῶν πρό-
κλησιν ἐς ἡσυχίαν ἡμῶν, ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε. τίνες ἂν οὖν ὑμῶν
δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀν-
δραγαθίαν προύθεσθε. καὶ ἃ μέν ποτε χρηστοὶ [ἐπὶ τῷ μηδικῷ] ἐγένεσθε ὥς φατε, οὐ προσή-
κοντα νῦν ἐπεδείξατε. ἃ δὲ ἡ φύσις [ἡ φύσις ἡ ὑμετέρα] ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές.
μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκού-
σιον μηδισμὸν καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμόν, τοιαῦτα ἀποφαίνομεν. ἃ δὲ τε-
λευταῖά φατε ἀδικηθῆναι, παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομη-
νίαις ἐπὶ τὴν ὑμετέραν πόλιν. οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν.
εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς
πολέμιοι, ἀδικοῦμεν. εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βου-
λόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι.
ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων.
ἀλλ' οὔτ' ἐκεῖνοι ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς. πολῖται δὲ ὄντες ὥσπερ ὑμεῖς,
καὶ πλείω παραβαλλόμενοι τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὑτῶν πόλιν φιλίως
οὐ πολεμίως κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους
τὰ ἄξια ἔχειν. σωφρονισταὶ ὄντες τῆς γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες.
ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.

τῶν ἐλευθερούντων ἄλλους Ἕλληνας:-

ἀντίστροφον κῶλον:-

αἰσχρὸν μᾶλλον τὸ ὀφειληθείσας χάριτας μετὰ δικαιοσύνης εἰς ἀδικίαν ἀποδιδομένας. ἢ τὸ μὴ ὁμοίας χάριτας ἀντιδιδόναι:-

ἀφ' ὧν πραγμάτων οἷον προθυμίας καὶ ἀνδρείας:-

ὅτι τοιοῦτοι εἰσὶν οἷς Ἀθηναίοις ξυμμαχεῖτε οἳ καταδουλοῦντες τοὺς Ἕλληνας. ἔδει ὑμᾶς προσδραμεῖν τοῖς Λακεδαιμονίοις. καὶ ἐκείνοις ἐπὶ τοῖς Μήδοις συμμαχῆσαι καὶ προθυμεῖσθαι ὧν ἀεὶ προκαλεῖσθε καὶ καλεῖσθαι, ἐκεῖνοι μὲν παρεσπόνδησαν ὑπὸ ἡμῶν τι παθεῖν:-

πρὸ τοῦ περιτειχισμοῦ ὅτι ὑπὸ λιμοῦ αὐτοκράτορες ἐπιδώσουσιν:-

ἀντὶ τοῦ οὐδεὶς τοῖς τίνες ἂν ὑμῶν:- ἐπὶ τῷ ἐκείνων κακῷ, τῷ Ἑλλήνων τῇ δουλώσει:-

τὸ β' ἀντιληπτικὸν τῶν Πλαταιέων τεθεικώς:-

ὁριστικόν:-


μεταστατικόν:-

οἱ περὶ Ναυκλείδην:-

τὸ ἑξῆς. ἀλλ' οὔτε ἐκεῖνοι οὔτε ἡμεῖς ἀδικοῦμεν δηλονότι. τὸ γὰρ ὡς ἡμεῖς κρίνομεν διὰ μέσου:-

τὴν νῦν ὁμοιότροπον:-

Ἡ μὲν οὖν πρὸ ταύτης βίβλος τῆς ὅλης συντάξεως οὖσα πρώτη· 79
περιέχει τὰς κατ' αἴγυπτον πράξεις· ἐν αἷς ὑπάρχει· τά τε περὶ
τῶν θεῶν παρ' αἰγυπτίοις μυθολογούμενα· καὶ περὶ τῆς τοῦ
νείλου φύσεως· καὶ τἆλλα· τὰ περὶ τοῦ ποταμοῦ τούτου παρα-
δοξολογούμενα· πρὸς δὲ τούτοις· περί τε τῆς κατ' αἴγυπτον
χώρας· τῶν ἀρχαίων βασιλέων· τὰ ὑφ' ἑκάστου πραχθέντα·
ἑξῆς δὲ κατετάχθησαν αἱ κατασκευαὶ τῶν πυραμίδων·
τῶν ἀναγραφομένων ἐν τοῖς ἑπτὰ θαυμαζομένοις ἔργοις·
ἔπειτα διήλθομεν περὶ τῶν νόμων καὶ τῶν δικαστηρίων·
ἔτι δὲ τῶν ἀφιερωμένων ζώων παρ' αἰγυπτίοις τὰ θαυμαζό-
μενα· πρὸς δὲ τούτοις, τὰ περὶ τῶν τετελευτηκότων νόμι-
μα· καὶ τῶν ἑλλήνων ὅσοι τῶν ἐπὶ παιδείᾳ θαυμαζομένων·
παραβαλόντες εἰς αἴγυπτον· καὶ πολλὰ τῶν χρησίμων μα-
θόντες μετήνεγκαν εἰς τὴν ἑλλάδα· ἐν ταύτῃ δὲ ἀναγράψο-
μεν τὰς κατὰ τὴν ἀσίαν γενομένας πράξεις· ἐν τοῖς ἀρ-
χαίοις χρόνοις· τὴν ἀρχὴν ἀπὸ τῆς τῶν ἀσσυρίων ἡγε-
μονίας ποιησάμενοι· τὸ παλαιὸν τοίνυν κατὰ τὴν ἀσίαν
ὑπῆρχον ἐγχώριοι βασιλεῖς· ὧν οὔτε πρᾶξις ἐπίσημος· οὔτε
ὄνομα μνημονεύεται· πρῶτος δὲ τῶν εἰς ἱστορίαν καὶ μνήμην
παραδεδομένων· νῖνος ὁ βασιλεὺς τῶν ἀσσυρίων μεγάλας
πράξεις ἐπετελέσατο· περὶ οὗ τὰ κατὰ μέρος ἀναγράφειν πειρασό-
μεθα· γενόμενος γὰρ φύσει πολεμικὸς· καὶ ζηλωτὴς τῆς ἀρε-
τῆς· καθώπλισε τῶν νέων τοὺς κρατίστους· γυμνά-
σας δ' αὐτοὺς πλείονα χρόνον· συνήθεις ἐποίησε πάσῃ
κακοπαθείᾳ καὶ πολεμικοῖς κινδύνοις· συστησάμενος οὖν
στρατόπεδον ἀξιόλογον· συμμαχίαν ἐποιήσατο πρὸς ἀ-
ριαῖον τὸν βασιλέα τῆς ἀραβίας· ἣ κατ' ἐκείνους τοὺς
χρόνους ἐδόκει πλήθειν ἀλκίμων ἀνδρῶν· ἔστι δὲ καθόλου



VAT. GR. N.º 504.

ρος μεταλαμβανόμενον· θεωρία γὰρ ἦν τὸ φυτὸν,
ὡς ἡ ἐμὴ θεωρία· ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς
τοῖς τὴν ἕξιν τελεωτέροις· οὐ καλὸν δὲ τοῖς ἁπλου-
στέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις· ὥσπερ οὐ-
δὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεο-
μένοις γάλακτος·

ἑρμ Εἶτα ἐξῆς φησί· τὸν ἄνθρωπον διατρίβειν ἐν τῷ παραδείσῳ· ὅ-
στις ποτε ἦν ὁ παράδεισος οὗτος, εἴτε αἰσθητὸς εἴτε
νοητός· πλὴν ἐμοὶ δοκεῖ ὅτι ὥσπερ ὁ ἄνθρωπος αἰσθη-
τὸς ἅμα καὶ νοητὸς δεδημιούργηται, οὕτως καὶ τὸ
τούτου ἐνδιαιτώμενος· αἰσθητὸν ἅμα καὶ νοητόν, ἐ-
διπλῆν ἔχων τὴν ἔμφασιν· τῷ γὰρ σώματι ἐν τῷ
θειοτάτῳ χώρῳ αὐλιζόμενος, τῇ ψυχῇ ἐν μακαρι-
ωτέρῳ τόπῳ διέτριβεν· ἔλαβε δὲ παρὰ θεοῦ καθάπερ
τιμήν τινα, τὴν αὐτεξουσιότητα· καὶ ἡ αἰτία τῆς αὐ-
τεξουσιότητος, ἵνα ἴδιον ἦν τὸ κατορθούμενον ἀγα-
θόν· καὶ μὴ μόνον τοῦ θεοῦ· ἀλλὰ καὶ τοῦ ἀνθρώπου· τοῦ μὲν,
ὡς ἐνθεμένου τῇ φύσει τὰ τῶν ἀρετῶν σπέρματα·
καὶ ὡς συνεργοῦντος· τοῦ δὲ ὡς ἑλομένου καὶ πρά-
ξαντος· πᾶν γὰρ κατορθούμενον, κοινόν ἐστι καὶ τοῦ κα-
τορθοῦντος καὶ τοῦ θεοῦ· ὁ μὲν γὰρ παρέσχε τὰς ἀφορ-
μάς· ὁ δὲ ἐνεργήσας κατώρθωσε· καὶ ὁ μὲν ἔσπειρεν, ὁ
δὲ ἐγεώργησεν· ὅτι γὰρ ἐν τῷ παραδείσῳ ἐτέθη ἐν ἔρ-
γοις ἀγαθοῖς· εἰ μὲν γὰρ μὴ ἦν αὐτεξούσιος, οὐκ ἂν ἐκ προ-
αιρέσεως ἐνεργεῖν ἐδόκει· ἀλλ' οὖν ἐν αἰσθητῷ παραδεί-
σῳ, δῆλος ἂν εἴη ἀπὸ τῆς ἱστορίας· ἐφύτευσε γάρ φησιν
ὁ θεὸς παράδεισον κατὰ ἀνατολάς· ὁ δὲ μέγας θεολόγος,
μεταφέρει τὴν ἱστορίαν πρὸς ἀναγωγήν· καὶ νοητὸν μὲν
παράδεισον τὴν μετουσίαν ζωῆς· ἤγουν τὴν τῆς τρυφῆς


[illegible]


ἐὰν συμφωνηθῇ τοῖς μισθωταῖς ἀκινδύνοις οἰκ-
ἀμελῶς ἔχειν πῦρ· καὶ τυχηρῶς γένηται καῦσις, οὐκ ἐνέχεται ὁ
μισθωτής· εἰ δὲ κατὰ ἀμέλειαν αὐτοῦ συνέβη, ἐνέχεται· ἐν τῷ
τῷ θ' κε'. ὁ μισθωσάμενος ἀγέλην, οὐκ ἐνέχεται ἐὰν δειχθῇ
ὅτι χωρὶς ἀπάτης αὐτοῦ λησταὶ αὐτὴν ἀφείλοντο· ἀναλαμβά-
νει δὲ τοὺς μισθούς. εἰ δὲ ὑπὲρ τοῦ λοιποῦ χρόνου δέδωκε
ὁ ποιμὴν καὶ ὁ ῥάπτης, καὶ ὁ κναφεὺς ἀπὸ ἀμελείας καὶ ἀπει-
ρίας ἐνέχονται· ἐν δὲ τῷ ια' κε'. ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ
καὶ σχῇ, ἐνέχεται· εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται. εἰ δὲ
στέργειν εἶπεν ὅτε συμφωνηθῇ πῦρ ἔχειν ἀναμελῶς· ἐν δὲ τῷ ιβ' κε'.
ἐὰν συμφωνήσῃ ἐν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον
καὶ σχῇ, εἰ τὰ δὲ ὁ δοῦλος αὐτοῦ ἀξένως εἰσαγάγῃ πῦρ καὶ καύσῃ· χώρα
τῇ περὶ τοῦ συμφώνου ἀγωγῇ· εἰ δὲ καὶ ἁμαξάριος φίλον ἐκ-
περιλαμβάνειν στρέψαι τὴν ἅμαξαν καὶ κλάσῃ τὸν δοῦλον, ἐνέ-
χεται τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ· εἰ μὴ ἐπὶ τῷ ἀπαγαγεῖν
ἐπὶ ζημίας ἐμισθώσατο· ἐν δὲ τῷ ιγ' κε'. ἐὰν λαύκη τοῦ
τῷ συμβληθῆναι ἢ γλύψαι λίθε ἂν καὶ κλασθῇ, εἰ μὲν δι' ἀπειρίας
τοῦ τεχνίτου, χώρα τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ· εἰ δὲ ἀπὸ
αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται· εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο.
ἐὰν μισθωθὲν τὸν γένηται τὸ δοθὲν τῷ κναφεῖ, χώρα τῇ περὶ
τῆς μισθώσεως ἀγωγῇ· καὶ ἐὰν ἐπὶ τῷ ἐπιδοῦναι παράσχῃ
ἢ ἄλλο παλαιόν· κἂν ἐν ἀγνοίᾳ· ἐν δὲ τῷ ιδ' κε'. ἐὰν ἀνεχο-
μένου τοῦ δεσπότου μὴ ἐπιδώσῃ τοὺς χρόνους ὁ μισθωτὸς
ἐπιμείνῃ· καὶ χωρὶς ἐγγράφου ἀνανεοῦται τὸ
συνάλλαγμα ὅσα ἀπὸ μέρους συναινέσεως· ὅθεν ἐὰν ἐν τῷ με-
ταξὺ τελευτήσῃ ἢ μανικὸς ὁ δεσπότης, οὐκ ἀνανεοῦται· ἐν δὲ
τῷ ιε' κε'. πᾶσαν ζημίαν ἢ τιμίου δυνατὸν ἀντιστῆναι, ὁ δεσπότης
ἐπιγινώσκει· οἷον τὴν ἀπὸ τῶν ποταμῶν ἢ γεράνων ἢ ψαρῶν
ἢ κολοιῶν, ἢ τῶν ὁμοίων· ἢ ἐπιδρομῆς πολεμίων· ἢ ἐὰν ἀπὸ
ὀλίγου πάντες ἀρθῶσιν οἱ καρποί· οὐ τὸ γὰρ πρὸς τὴν ζημίαν
τοῦ σπόρου καὶ τὸν μισθὸν δίδωσιν ὁ μισθωτός· ὁμοίως ὁ μισ-

ἐκζήτησον· ἐξερεύνησον· καὶ ἀ-
πέλασον ἀπ' αὐτοῦ πάντα τὰ ἐ-
νεργήματα τοῦ διαβόλου· ἐπιτί-
μησον τοῖς ἀκαθάρτοις πνεύμα-
σι· ἐκδίωξον αὐτά· καὶ καθάρισον
τὸ ἔργον τῶν χειρῶν σου· καὶ τῇ ὀ-
ξείᾳ σου χρησάμενος ἐνεργείᾳ·
σύντριψον τὸν σατανᾶν ὑπὸ τοὺς
πόδας αὐτοῦ ἐν τάχει· καὶ δὸς αὐτῷ
νίκας κατ' αὐτοῦ· καὶ κατὰ τῶν ἀκα-
θάρτων αὐτοῦ πνευμάτων· ὅπως
τοῦ παρὰ σοῦ ἐλέους τυχὼν (ὄντως)· κατα-
ξιωθῇ τῶν ἀχράντων καὶ ἐπουρανί-
ων σου μυστηρίων· καὶ δόξαν σοι
ἀναπέμψῃ· τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ
τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ(ῶνας)


~~Εὐχὴ εἰς ποιῆσαι [illegible] χ[illegible]~~
~~πρ[illegible]~~

Ὁ ὢν δέσποτα κύριε ὁ ποιήσας τὸν
ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· καὶ
δοὺς αὐτῷ ἐξουσίαν ζωῆς αἰωνίου·


32
OTTOB. GR. N° 381



T. GR. N°1431



*VAT. GR. N° 1694


VAT. GR. N° 2281

ψυχὴ ἱερῶ· συγκροτεῖς δὲ χαίρων· ὡς ἀλη-
θῶν ὀρθοδόξων· τὰς χορείας συνδέσμῳ τοῦ πν(ευματο)ς:—
Πλήρεις ὥσπερ φιάλαι θ(εο)ῦ, τῶν ἀρωμάτων μὲν ἅπασι
ἀγόμενοι σου· καὶ τὴν οἰκουμένην μὲν ταῖς ὀσ-
δίαις ἀφραίνετε· τῇ τῶν ἀρωμάτων· μυροβλύ-
κῃ· μελῳδίᾳ· καὶ τῷ κάλλει τῶν λογίων ὑμ-
νοῦντων [illegible] φε:
[illegible] θεὸν συλλαβοῦσαν· τὸν δημιουργὸν καὶ κτίσ-
της κ(ύρι)ε· [illegible] πᾶσαι· τῶν ἀνθρώπων [illegible]
[illegible] καὶ τῶν ἀσωμάτων αἱ μυριάδες ταξιαρ-
χίαι· καὶ [illegible] πάντας ἐκπλήττει τὸ θαῦμα σου:—
[illegible] θητῆς μοι σῆς· πολλάς:—
Σοφίαν πν(ευματ)ικὴν τὸν κόσμον ὅλον ἐπλούτισας· τοῦ
λόγου διανομαῖς· γενόμενος ἀπόστολος· π[illegible]
σίαν [illegible] ἀνθρώπων ἱεράρχαι χάρις· ἐξεχύθη σου τοῖς χείλεσ[illegible]:—
Εἰς πᾶσαν ὡς ἀστραπὴ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος
σου· καὶ δύναμις δὲ τῶν σῶν ῥημάτων χρυσόστομε.
ὡς σάλπιγξ παράσημος· ἡ οἰκουμένη πᾶσα περιήχησε [illegible]:—
Τὸν ἄνωθεν ὑφαντὸν· χιτῶνα περιβαλλόμενος·
γράμματα καὶ ἀρετῶν ἐρείσματα· καὶ λόγων περιποιησάμενος·
περιποιησάμενος· ἀληθείας ἄφθαρτον [illegible]
[illegible]ξιομέδραιε [illegible]:—
[illegible] παντοκρατορικὴν δύναμιν φέρων ταῖς [illegible]
[illegible] ἀθεμίτης σαρκὸς ἐκ σοῦ περιβαλλεῖ
[illegible] πόνων [illegible] [illegible] τῶν ἀγίων μου [illegible]:—

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ· ΚΕΦΑΛΑΙΟΝ Α·

1 Ἐπειδήπερ πολλοὶ ἐπε-
χείρησαν ἀνατάξασθαι
διήγησιν· περὶ τῶν πε-
πληροφορημένων ἐν
ἡμῖν πραγμάτων· καθὼς
παρέδοσαν ἡμῖν
οἱ ἀπ' ἀρχῆς αὐτόπται·
καὶ ὑπηρέται γενόμενοι
τοῦ λόγου· ἔδοξε κἀμοὶ
παρηκολουθηκότι
ἄνωθεν πᾶσιν ἀκριβῶς·
καθεξῆς σοι γράψαι κράτιστε
θεόφιλε· ἵνα ἐπιγνῷς πε-
ρὶ ὧν κατηχήθης λόγων τὴν
ἀσφάλειαν· Ἐγένετο ἐν ταῖς
ἡμέραις ἡρῴδου τοῦ βασιλέ-
ως τῆς ἰουδαίας· ἱερεύς τις
ὀνόματι ζαχαρίας· ἐξ ἐφη-
μερίας ἀβιά· καὶ ἡ γυνὴ αὐ-
τοῦ ἐκ τῶν θυγατέρων ἀαρών·
καὶ τὸ ὄνομα αὐτῆς ἐλισά-
βετ· ἦσαν δὲ δίκαιοι ἀμ-
φότεροι ἐνώπιον τοῦ θεοῦ·
πορευόμενοι ἐν πάσαις ταῖς

EVANGELIUM SECUNDUM LUCAM

Quoniam quidem multi conati
sunt ordinare
narrationem quae
in nobis comple-
te sunt rerum. si-
cut tradiderunt
nobis qui ab initio ipsi uiderunt.
et ministri fuerunt. ser-
monis: uisum est et mihi
a secuto a principio omni-
bus diligenter. ex or-
dine tibi scribere obtime
theophile. ut cognoscas
eorum uerborum de quibus eruditus
es ueritatem: Fuit in die-
bus herodes regis
iudee. sacerdos quidam no-
mine zacharias. de uice
abia. et uxor illi de fi-
liabus aaron et nomen
eius helisabet. Erant
autem iusti ambo ante
deum. incedentes
in omnibus mandatis

σιν ἄρχειν ἐφ' ᾧ τὸ σοὶ καὶ ἢ τοῦ κρίνειν ἐξουσία, ὀρθῶς ἂν τοῦτο ποιῇς· διὰ μὲν τοῦ ἀληθῆναι τὴν ἐξουσίαν, καταδικάζων οὓς ὁ θεὸς ἐδημιούργησε· διὰ δὲ τὴν πρόγνωσιν ἀναμάρτητος ὢν τοῦ κρίνειν· οὓς μὲν ὡς δικαίους δικαιῶν, οὓς δὲ ὡς ἀδίκους καταδικάζων· κἀγὼ

Ἔφην· ὀρθῶς ἔφης καὶ ἀληθῶς· ἀδύνατον γὰρ τινα πρόγνωσιν οὐκ ἔχοντα, κρίνειν ὀρθῶς· ὅμοιοί τε γὰρ φαίνονται τινὲς ἀγαθοί, ἀθέμιτα κρύφα διαπραττόμενοι· ὅμοιοι δὲ ἀγαθοὶ ὑπὸ διαβολῆς ἐχθρῶν, κακοὶ ὑπολαμβανόμενοι· ἀλλ' οὐ καὶ τοῦ βασανίζειν καὶ ἀνακρίνειν ἐξουσίαν τὶς ἄρχων δικάζει, οὐδὲ ὄντως ἕξει πάντως τὸ δικαίως δικάζειν· ὅμοιοι γὰρ φονεύσαντες· εἶτα ταῖς βασάνοις ὑπερνικῶντες, ἀφείθησαν ὡς ἀθῷοι· ἕτεροι δὲ πάλιν ἀθῷοι τυγχάνοντες, τὰς βασάνους οὐχ ὑπομείναντες· καὶ διὰ τοῦτο καταψευσάμενοι ἑαυτῶν, ὡς αἴτιοι ἐκολάσθησαν·

Καὶ ὁ Πέτρος· ἔχει μετρίως ταῦτα ἔφη· τὸ δὲ μεῖζον, ἄκουσον· ὅμοιον ἀνθρώπων ἁμαρτανόντων ἢ κατορθούντων· οἱ μὲν ὧν ποιοῦσιν, ἰδίαν ἄτην αὐτῶν· οἱ δέ, καὶ ἀλλοτρίαν· δίκαιον δὲ ἕκαστον ὅσοις τοῖς ἰδίοις ἁμαρτήμασι τιμωρεῖσθαι, ἢ ὅσοις τοῖς κατορθώμασιν ἀμοιβῆς ἀξιοῦσθαι· ἀδύνατον δέ τινι·

[illegible]

[illegible] οἷον ἑκατὸν πρὸς ἑκατόν· καὶ δέκα
πρὸς δέκα· καὶ δύο πρὸς δύο· καὶ μνᾶ πρὸς μνᾶν· καὶ τάλαντον πρὸς
τάλαντον· καὶ πῆχυς πρὸς πῆχυν, καὶ τὰ παραπλήσια· ἔν τε [illegible]

[illegible]

αὐτὴν ἀνθρώπου δογματίσαντος, καὶ τὴν εὐχὴν ἀπὸ μνήμης εἰληφότα:
Ἐν ταῖς κυριακαῖς καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, οὐ δέον
κλίνειν γόνυ:

[illegible]

Πρεσβύτεροι καὶ διάκονοι τὸ πρὶν ἐπιθύσαντες, εἶτα δόξαντες ἀναπαλαίσαντες, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετέχωσιν· μὴ δὲ τῶν ἱερῶν ἐπιτελοῦντες:· Ὅσοι τῶν πρεσβυτέρων καὶ διακόνων, ἐν καιρῷ διωγμοῦ βιασθέντες ἔθυσαν, εἶτα ἐν ἀληθείᾳ προσῆλθον, ἀναπαλαίοντες ὅπερ ἔπραξαν, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετέχειν ὀφείλουσιν· ἱερατικὸν δέ τι ἐνεργεῖν, οὐκ ἔξεστιν αὐτοῖς· οἷον, ἄρτον ἢ ποτήριον ἀναφέρειν· ἢ λόγους διδασκαλίας τῷ λαῷ ποιεῖσθαι· ἢ ὅλως τι τῶν λειτουργικῶν ἐπιτελεῖν:-

Οἱ βασανισθέντες καὶ βιασθέντες ἀληθῶς, καὶ μηδὲ τὴν γνώμην δουλωθέντες, βρῶμα λαβόντες εἰδώλου, τῆς κοινωνίας μὴ κωλυέσθωσαν· καὶ λαϊκοὶ δὲ τοῦτο παθόντες, ὡς οὐδὲν ἡμαρτηκότες, εἰ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἀλλ' ὡς ἀναμάρτητοι ὄντες:· Οἱ μετὰ βασάνων καὶ εἰδωλοθύτων βρῶμα δόξαντες βιασθέντες, τῶν βιαζομένων τῷ στόματι αὐτῶν τοῦτο ἐμβαλόντων μετὰ ἀνάγκης, ὡσαύτως δὲ καὶ οἱ τοιοῦτοί πως λιβανωτὸν ἐκ τῶν χειρῶν αὐτῶν δεξάμενοι, καὶ πρὸς βίαν πρὸς τὸν πειρασμὸν δὲ ἐπιρρίπτεσθαι τοῦτο κατ' ἀνάγκην ἀχθέντες, ὁμολογοῦντες δὲ διόλου ὅτι εἰσὶ χριστιανοί, καὶ τοῦ συμβάντος πένθος ἀποδεικνύμενοι τῇ πάσῃ καταστολῇ· καὶ τῷ σχήματι· καὶ τῇ τοῦ βίου ταπεινότητι, οὗτοι ὡς ἔξω ἁμαρτήματος ὄντες, τῆς κοινωνίας μὴ κωλυέσθωσαν· ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ μενέτωσαν· εἰ δὲ καὶ λαϊκοὶ εἶεν οἱ τοιοῦτοι, καὶ βούλοιντο χειροτονίας τυχεῖν, ἐὰν ὁ προλαβὼν αὐτῶν βίος ἀνεπίληπτος ᾖ, τούτου μόνου, οὐ κωλυθήσονται τῆς τοιαύτης ἐπιτυχεῖν τιμῆς:- Ὅσοι ἀπαγόμενοι, μετὰ τῶν μετ' ἀνδρείας ἀνῆλθον καὶ ἔφαγον, ἐπίδοξα εἶτα ὑποπιπτέτωσαν:-

Γόνασι σύνοδος ἡ ἐπὶ καί· ἀλλὰ τοῖς οἱ κοινωνικοὶ αὐτὴν οὖσαν πρῶτον, προτέτακται καὶ τὰ λοιπὰ τῶν πρὸ αὐτῆς γενομένων· ἥ τε ἐν Ἀντιοχείᾳ ἀληθῶς κατὰ τοῦ Παύλου τοῦ Σαμοσατέως συγκροτηθεῖσα ἐπὶ Αὐρηλιανοῦ βασιλέως· ἥ τε ἐν Ἀγκύρᾳ ἐν ᾗ ζητήσεως γέγονε περὶ τῶν ἐν καιρῷ διωγμῶν τὴν πίστιν ἀρνησαμένων, καὶ μετὰ ταῦτα μεταμελομένων ὅπως δεῖ τούτους δέχεσθαι· καὶ ἥ τε ἐν Νεοκαισαρείᾳ, ἐν ᾗ περὶ ἐκκλησιαστικῆς καταστάσεως κανόνες ἐξεφωνήθησαν:-

[illegible] ... κανὼν [illegible]

Κ. β

Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει· καὶ ἐκ τοῦ δεῦρο, μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι· ὡς πρόδηλον δὲ τοῦτο, πρόδηλον ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἴρηται, εἴ τινες ἄρα ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχισθῆναι· εὑρίσκονται δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ κανών:-

Διάφοροι κανόνες τῶν ἀποστόλων· τῶν αὐτῶν τῷ παρόντι κανόνι διατάττουσι· καὶ οἱ τῶν πολιτικῶν νόμοι ἐοίκασι κατὰ τὸ φρονεῖν τὸ πρᾶγμα καὶ κατὰ τὸν κανόνα· καὶ αὖθις τὸν ἑαυτὸν ἀκρωτηριάζοντα, προάγεσθαι εἰς κλῆρον· ἢ τοὺς ὑφ' ἑτέρων ἐκτμηθέντας κατὰ τὰ παρὰ [illegible] μὴ προάγεσθαι· διὰ τοῦτο οὖν καὶ οἱ τῆς συνόδου ταύτης τὸν παρόντα κανόνα ἐξέθεντο, διατάττοντες ταὐτὰ τοῖς αὐτῶν τῶν ἀποστόλων κανόσι καὶ τοῖς νόμοις· ὥστε μὴ τὸν ἑαυτὸν ἐκδόντα εἰς ἐκτομὴν ἢ αὐτοχειρὶ γενόμενον κληροῦσθαι· ἢ εἰ ἱερωσύνην ἀναδέξασθαι· ἀλλὰ καὶ ἂν προαχθέντα ἐν κλήρῳ ταχθῆναι· ἐκβάλλεσθαι· τοὺς μὴν ὑπὸ ἑτέρων ἀπηρεασθέντας· καὶ τοὺς παιδόθεν ἀφῃρεθέντας μόρια· ἐὰν ἄξιοι κρίνωνται ἱερωσύνης κωλύεσθαι διὰ τοῦτο προσαχθῆναι εἰς ἱερωσύνην. ἐὰν δὲ ἐκτέμῃ, ὥσπερ οἱ καὶ ἀποκόψας ἢ μόρια λαβὼν [illegible]· ἀλλὰ καὶ ὁ ἄλλον ἑκὼν καὶ χωρὶς ἀνάγκης ἑαυτὸν εἰς ἐκτομὴν ἐπιδιδούς· πλατύτερον δὲ τὰ περὶ τούτου ἐν τῷ κα· καὶ κβ· καὶ κγ· καὶ κδ· τῶν ἀποστόλων κανόνων:-

Ἐπειδὴ πολλοὶ ἤτοι ὑπὸ ἀνάγκης· ἢ ἄλλως ἐπαγόμενοι τῶν ἀνθρώπων· ἐγένετο πολλὰ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα· ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει· καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας· εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν· καὶ ἅμα τῷ βαπτισθῆναι

ὑπάτων τῶν ἱκανῶν πρώην τῶν ἐγγὺς καίσαρος ... Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπροτάτων· ἔτους χλς ἀπὸ Ἀλεξάνδρου· ἐγένετο ιθ πρὸ ιγ καλανδῶν Ἰουλίων·

+ [illegible] Χριστὲ [illegible] πάντ[ων] πληρ[ώματα] θεὸς ἡμῶν δόξα σοι:

+ πλήρωμα πάντων τῶν καλῶν, Χριστὲ [illegible]
τῷ ἔχοντι τὸ γράψαντι. Χριστέ μου σῶσον:

+ [illegible]


+ τῷ ͵ϛϡμβʹ ἔτει ἰνδ. ιβʹ μηνὶ μαρτίῳ κʹ ἡμέρᾳ
σαββάτῳ ὥρα ὀγδόῃ τῆς ἡμέρας· [illegible] ιθʹ
ἐγένετο σεισμὸς φοβερὸς ἐν τῇ νήσῳ Χίῳ· ὥστε [illegible]
[illegible] τὸ πλεῖστον μέρος τοῦ κάστρου· καὶ καταπεσεῖν καὶ ἐκ
τῶν μεγάλων [illegible] τοῦ κάστρου· καὶ καταρραγῆναι
καὶ θραυσθῆναι τὰ οἰκήματα κατὰ πλεῖστα αὐτῶν· ἀλλὰ
[illegible] δὲ καὶ τῆς μητροπόλεως τὸ βόρειον μέρος τὸ πλησίον [illegible]
[illegible]· καὶ ἐπέπεσεν [illegible] τῷ πλησίον αὐτοῦ οἴκῳ· [illegible]
γυναῖκά τινα [illegible] ἐν αὐτῷ καὶ ἀποθανεῖν. ἀπέθανε δὲ
καὶ ἄλλη τις γυνὴ ἑβραία ἐν τῷ αὐτῷ σεισμῷ· ἔπεσον δὲ καὶ ἐκτὸς
τοῦ κάστρου οἰκίαι πολλαί· αἱ πλησιάζουσαι μᾶλλον τοῦ [illegible]
[illegible] τοῦ [illegible] χωρίου· ἀλλὰ [illegible] ὁ ἅγιος [illegible]
[illegible]· καὶ τὸ βῆμα τοῦ [illegible] Χριστοῦ· καὶ τὸ βῆμα τοῦ ἁγίου [illegible]
τοῦ [illegible]· καὶ τὸ [illegible] τοῦ ἁγίου [illegible] τοῦ βασι-
λικοῦ [illegible]· διερράγησε δὲ καὶ κατεθραύσθη καὶ ὁ θόλος τοῦ ἁγίου
[illegible] καὶ ἄλλων πολλῶν ἐκκλησιῶν· ἀλλὰ δὴ καὶ τὸ βόρειον
μέρος τῆς [illegible] τοῦ μεγάλου [illegible]· [illegible] ταῦτα
[illegible] τῆς θαλάσσης· [illegible] τῆς θαλάσσης·

[illegible] ἐπαναστραφῆναι· καὶ [illegible] ὁρῶν αὐτῆς [illegible] ἕως
τῆς ἡμέρας [illegible] πλατείας τοῦ ἐμπορίου· ὥστε φοβηθῆναι τοὺς [illegible]
[illegible] καὶ [illegible] τῆς [illegible]· [illegible] δὲ καὶ ἡ
σμύρνη· καὶ [illegible]· ἀλλὰ δὴ καὶ [illegible]
οὗτινος φοβεροῦ [illegible] γενομένου μετὰ φιλανθρωπίας [illegible]
[illegible] ἡμᾶς ὁ [illegible] ἐλεήμων θεός· αὐτῷ ἡ δόξα [illegible]
αἰῶνας ἀμήν:+

σκήπτεσθαι τὴν μῆνιν· τὸ δὲ ἀληθὲς αὐτὸν ὀρρωδεῖν. ἃ πῶς ἀνεκτὰ ἀκούειν ἐμοί· τίς ὑπὲρ σοῦ τούτων λήψεται τὴν δίκην· οἱ κἂν ἀσεβήσῃ πρὸς θεῶν; οὐ δόξαν ἕξεις ὅτι μὴ πάλαι; οὐχ ὅσον τοῦ χρόνου πρόεισι, ζημίαν θήσει; οὐκ ἄρα καὶ τῆς κόρης ἕνεκα ὀργισθῆναι, εἰς τοὺς ζῶντας ἀφήσεις τὸν θυμόν, τοὺς ἁπάντων τούτων αἰτίους; εἰ γὰρ ἐπεί μοι μηδὲν προεκίνησα μηδ' ἐξ ἀρχῆς, τί τῶν ἁπάντων ἂν ἢ μεῖζον ἢ ἔλαττον ἐν ταυτοῖ συνέβη δι' ὀχλεῖν· ἐνθυμοῦ δὲ ὅτι Πηλεὺς μέσος Αἰακοῦ καὶ σοῦ· Αἰακοῦ ἐκείνου εἰς ὃν πώποτε ἦλθε τὰ τῶν Ἑλλήνων πράγματα· σοὶ δὲ ὑπάρχει καὶ τοῦτο ὡς μάλιστα· μιμούμενος γὰρ τὴν τοῦ προγόνου γνώμην, ὑπεραίρεις τῷ σχήματι· ὁ μὲν γὰρ ἐξ αὐχμοῦ ὤνησε· οὐδὲ ἔργῳ βοηθήσας, ἐκπλήσεις τὰς ἁπάντων εὐχάς· καὶ ἅμα ἔτι πρὸς τούτοις λογίζου· ἔξιμεν δὴ αὐτίκα μάλα ἐκ τῆς σκηνῆς· ποίοις ποσὶν ὦ πρὸς Διός, ἂν μὴ ταῦτα συνδόξῃ· τίνας λόγους ἐροῦμεν ἀπελθόντες· ἢ ποίας ἀποκρίσεις ἀποκρινούμεθα· καραδοκοῦσι δὲ δή που πάντες· οἱ ἄσμενοι προσδεχθέντες. ἄλλος ἄλλοθεν προσιόντες, πεύσονται· τί χρὴ πρὸς αὐτοὺς λέγειν. ἀποκρίνασθαι· σπεῖσον μεθ' ἡμῶν τῷ Διὶ τῷ σωτῆρι. μὴ τὴν τελευταίαν τοῦ νῦν εἶναι· ἀλλ' αἰσχυνθεὶς τήν τε χρείαν τὴν κοινήν· καὶ τοὺς πρέσβεις ἡμᾶς. καὶ τῆς πρεσβείας τὴν ὥραν. νύκτα ταύτην. καὶ ἄστρα ταῦτα· καὶ θεοὺς καὶ κέρασον τοῖς κοινοῖς σὺν ἡμῖν οἶνον, ἐκδοὺς τὴν ὀργὴν ὥσπερ νόσον, φάνηθι τοῖς βαρβάροις ἅμα ἡλίῳ:~

† Λιβανίου ἀντιρρητικὸς Ἀχιλλέως:~

Ὅτε πρῶτον ὑμᾶς εἶδον ἐπὶ τὰς θύρας ἥκοντας ὦ σοφώτατε Ὀδυσσεῦ, ἡγησάμην ὀψέ ποτε κοινωνοὺς ἀφῖχθαί μοι τῆς ἐφ' οἷς ὑβρίσθην ὀργῆς· καὶ τοῦ γε λοιποῦ μεθ' ἡμῶν συνδιάξειν. τῆς Ἀγαμέμνονος βδελυρίας, εἰσάπαξ κατεγνωκότας· καὶ μὰ τοὺς θεοὺς οὐ τὸ νῦν ἐπὶ τούτοις ὑμᾶς. θαυμαστὸν ἐποιούμην· ἀλλὰ μᾶλλον ὅτι μὴ πάλαι μετέστητε, τοῦτ' ἐθαύμαζον· ἐπεὶ δὲ καὶ τῶν λόγων ἤκουσα τῶν πολλῶν καὶ καλῶν· καὶ τὴν ὑπὲρ τῶν ἠδικηκότων ἐθεασάμην σπουδήν. καὶ τὴν κατ' ἐμοῦ τοῦ τὰ δεινότατα πεπονθότος τέχνην, καὶ ὅτι με καθάπερ παῖδα προσεδόκησας οἰχήσεσθαι λαβόντα, νῦν πλέον ἢ πρότερον ἡ καὶ παράδοξον ἁπάντων ἤλγηκα· τὸ γὰρ μηδὲ νῦν ἔχειν δοκεῖν. ἀλλ' ἕτοιμον εἶναι πρὸς ἀπάτην, ὅτου τις ἂν ἐπιθυμοῦ. τοῖς γε ἑκόντως ἀπὸ ἢ τοῖς δημόταις· ἐγὼ δέ σε ἠξίουν φάσκοντα συνέσει νικᾶν, μὴ τὸ πᾶν προσδηλοῦν


343. χεβο ... 46

ψαλτήριον ... μέλος:·

Μακάριος ἄνθρωπος ὅπου δὲν ἐπήγεν εἰς βου-
λὴν ἀσεβῶν· καὶ εἰς στράτα ἁμαρ-
τωλῶν οὐδὲν ἐστάθη· καὶ εἰς κά-
θισμαν φθορᾶς οὐδὲν ἐκάτζεν· ἀ-
μὴ εἰς τὸν νόμον τοῦ κυ τὸ θέλημάν
του· καὶ εἰς τὸν νόμον του νὰ μελετήσῃ
ἡμέραν καὶ νύχταν· καὶ νὰ γένῃ ὡσὰν
τὸ ξύλον τὸ πεφυτεμένον εἰς τὸ [illegible]
τοῦ νεροῦ· αὐτὸ τὸν καρπόν του νὰ δώσῃ
εἰς τὸν καιρόν του· καὶ τὸ φύλλον του οὐ μὴ
ἀπορέψῃ· καὶ ὅλα ὅσα [illegible] πολεμᾶ
νὰ [illegible]· ὄχι ἔτζη οἱ ἀσεβεῖς
ὄχι ἔτζη· ἀμὴ ὡσὰν κορνιαχτὸς τὸν ἀ-
ποσείρνει ὁ ἄνεμος ἀπὸ τὸ πρόσωπον
τῆς γῆς· διὰ τοῦτο οὐ μὴ ἀναστηθοῦσιν ἀσε-
βεῖς εἰς κρίσιν· οὐδὲ ἁμαρτωλοὶ εἰς
βουλὴν δικαίων· ὅτι ἠξεύρει κς βου-
λὴν δικαίων· καὶ στράτα τῶν ἀσεβῶν
νὰ χαθῇ:·

[illegible]

κάστῳ καὶ πόλει τὸν μὲν κακὸν κα-
κόν τι πάσχειν· τὸν δὲ χρηστὸν εὐτυ-
χεῖν· Χο. σὺ μὲν ὦ πατρὶς Ἰλιάς,
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ·
ἢ τοῖον Ἑλλάνων νέφος ἀμφί σε
κρύπτει· δορὶ δὴ δορὶ πέρσαν·
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων· κατὰ δ' αἰθάλου
κηλῖδ' οἰκτροτάταν κέχρωσαι·
τάλαιν' οὐκέτι σ' ἐμβατεύσω·
μεσονύκτιος ὠλλύμαν·
ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐ-
π' ὄσσοις σκίδναται· μολπᾶν δ' ἄ-
πο καὶ χοροποιὸν θυσιᾶν κατα-


[illegible]

τὰ τε σταθερὰ καὶ βέβαια ἔργα. ἔχει δὲ ὁ μαθηματικὸς λόγος καὶ τὸ καθαρὸν καὶ ἐπιστημονικὸν καὶ ἀτέλεστον πρότερος τῶν εἰσοδοιῶν τοῖς παλαιοῖς ὁ μαθηματικὸς τοῦ φυσικοῦ, καὶ ἀρχικώτερος ἐκ τάφ τούτων ἐν κρέμασθαι ὑπειλήφασι τῶν ἄλλων εἰλικρινῆς ὅσον χρώμεθα μετ' αὐτοῦ τοῦ μαθηματικοῦ λόγου. προσέχουσι δὲ τὸ εἶδος αὐτοῦ ἐπικρίνειν τῇ ἀκριβείᾳ, καὶ τῇ ἀνελέγκτῳ γνώσει, καὶ τῇ ὀρθότητι τῶν λόγων καὶ τῇ συμφωνίᾳ πρὸς τὰ ὄντα. μεθ' ἃ τούτων τὸ εἶδος αὐτοῦ τῶν ἄριστα διαφαίνεται. ἔσω δὲ καὶ ταῦτα ... προσηκόντως μετὰ τῶν ἔμπροσθεν περὶ τούτου διωρισμένων. ΛΖ'


Ἐπὶ τοίνυν ἀπετελέσαμεν τὴν κοινὴν περὶ τῶν μαθημάτων θεωρίαν, καιρός ἐστιν ἤδη συναγαγεῖν ὑπὸ μίαν σύνοψιν τὰ ὅλα περὶ αὐτῶν κεφάλαια. πρῶτα μὲν οὖν τὰ τῶν σκοπῶν, καὶ τὰ περὶ τῆς ὅλης ἐπιστήμης τῆς μαθηματικῆς. εἶτα περὶ ἀρχῶν τῶν τε κοινῶν καὶ τῶν ἰδίων, ἐπὶ τούτων, περὶ τῶν ὑποκειμένων τοῖς μαθήμασι ἐποιησάμεθα λόγον. εἶτα περὶ τῆς ἀρίστης αὐτῶν γνώσεως καὶ τῶν ἐν αὐτοῖς ἐπιστημῶν. καὶ περί τε τῶν καθ' αὐτὰ κριτηρίων καὶ περὶ τῆς ... αὐτῶν ... πόθεν ἄρχεται ἡ θεωρία, τίς τε ὁ ὅρος τῆς μαθηματικῆς θεωρίας, καὶ τίνες αἱ δυνάμεις αὐτῆς. καὶ τίνα τὰ στοιχεῖα, τά τε κοινὰ καὶ τὰ ἴδια. καὶ περὶ ταύτης πᾶν ἐπικοινωνεῖ πρὸς φιλοσοφίαν, καὶ πῶς ταῖς τέχναις συμβάλλεται. καὶ τίνα τάξιν ἔχει τῆς ἐν παιδείᾳ ... τίνες τε οἱ ἴδιοι τρόποι τῆς πυθαγορικῆς παραδόσεως τῶν μαθημάτων καὶ τίς ἡ διαίρεσις κατὰ τοὺς πυθαγορείους, τῆς ὅλης μαθηματικῆς ἐπιστήμης καὶ τίς ἡ ὀρθὴ μαθηματική. καὶ τίνα ἐξαίρετα κατὰ πυθαγόραν τῆς θεωρίας ταύτης. τίς τε ἡ διαλλάττουσα αὐτῆς κατάστασις μεγίστη. καὶ ὅτι ... αὐτὰ οἱ πυθαγόρειοι προήγαγον ἐπὶ πλεῖον, τίς τε ἡ συνήθεια αὐτῶν. τῆς ἐν τοῖς μαθήμασι διδασκαλίας καὶ τίνες ἦσαν οἱ μαθηματικοὶ πρὸς αὐτοὺς ἀντιλήψεις τῶν μαθημάτων καὶ ἀντιλογίαι πρὸς αὐτάς. καὶ αἱ διαστάσεις, καὶ τί δεῖ ἀπαιτεῖν παρὰ τοῦ μαθηματικοῦ. τοῦ οὕτως πεπαιδευμένου. διακρίσεις τε τῶν ἐν τῇ προβλημάτων καὶ τοῦ τρόπου τῶν ἀποδείξεων περὶ συλλογισμῶν τε καὶ διαιρέσεως καὶ ὁρισμῶν μαθηματικῶς. τίς τε ἡ κοινωνία φιλοσοφίας πρὸς τὴν πυθαγόρειον ἣν ἐν τοῖς μαθήμασιν ἐχρῶντο οἱ πυθαγόρειοι. τί τε τὸ κοινόν, καὶ ἴδιον τῆς μαθηματικῆς ἐπιστήμης, καὶ πόσας εἰς διαιρέσεις, καὶ τῶν τεταγμένων. ἐπὶ τέλει τε περὶ τοῦ ὀνόματος εἴρηται τῆς μαθηματικῆς, καὶ ὧν τότε συνεπομένων. τέλος τοῦ περὶ τοῦ κοινοῦ λόγου τῶν μαθημάτων.


καὶ τῶν μαθηματικῶν ἐπιστημῶν κεφάλαια ἐπισυ-
νάψαι. καὶ οἶμαι αὐτὰ συμμέτρως ἔχειν.
εἰ δέ τι ... πραγματείᾳ ῥᾴδια
ἀπὸ τῶν ἐρήμων καὶ τῶν
λείψει τῆς δια-
γνώσεως.

Hoc opus ad huius Bibliothecæ Palatinæ usum. Ego Ioannes Honorius á Mallia oppido Hydruntinæ Dioc. ortus, Librorum Græcorum instaurator sic exscribebá. Ano Dni. M.D.XXXVI. Paulo III. Pont. Max.



VAT. GR. N° 302





OTTOB. GR. N.° 25

KLEINE TEXTE FÜR THEOLOGISCHE UND PHILOLOGISCHE VORLESUNGEN UND ÜBUNGEN

HERAUSGEGEBEN VON HANS LIETZMANN

1 Das Muratorische Fragment und die monarchianischen prologe zu den evangelien, herausgegeben von Prof. Lic. Hans Lietzmann. 2. Aufl. 16 S. 0.30 M.

2 Die drei ältesten Martyrologien, herausgegeben von Prof. Lic. Hans Lietzmann. 16 S. 0.40 M.

3 Apocrypha I: Reste des Petrusevangeliums, der Petrusapocalypse und des Kerygma Petri, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 2. Aufl. 16 S. 0.30 M.

4 Ausgewählte Predigten I: Origenes Homilie X über den propheten Jeremias, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 16 S. 0.30 M.

5 Liturgische Texte I: Zur geschichte der orientalischen taufe und messe im 2. und 4. jahrhundert, ausgewählt von Prof. Lic. Hans Lietzmann. 2. Aufl. 16 S. 0.30 M.

6 Die Didache, mit kritischem apparat herausgegeben von Prof. Lic. Hans Lietzmann. 2. Aufl. 16 S. 0.30 M.

7 Babylonisch-assyrische Texte, übersetzt von Prof. Dr. Carl Bezold: I Die schöpfungslegende. 20 S. 0.30 M.

8 Apocrypha II: Evangelien, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 2. Aufl. 21 S. 0.40 M.

9 Ptolemaeus Brief an die Flora, herausgegeben von Prof. D. Adolf Harnack. 10 S. 0.30 M.

10 Die Himmelfahrt des Mose, herausgegeben von Prof. Lic. Dr. Carl Clemen. 16. S. 0.30 M.

11 Apocrypha III: Agrapha, neue Oxyrhynchuslogia, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 20 S. 0.40 M.

12 Apocrypha IV: Die apokryphen briefe des Paulus an die Laodicener und Korinther, herausgegeben von Prof. D. Adolf Harnack. 23 S. 0.40 M.

13 Ausgewählte Predigten II: Fünf festpredigten Augustins in gereimter prosa, herausgegeben von Prof. Lic. Hans Lietzmann. 16 S. 0.30 M.

14 Griechische Papyri, ausgewählt und erklärt von Prof. D. Hans Lietzmann. 2. Aufl. 32 S. 0.80 M.

15/16 Der Prophet Amos, hebräisch und griechisch, herausgegeben von D. Johannes Meinhold und Lic. Hans Lietzmann. 32 S. 1.00 M.

17/18 Symbole der alten Kirche, ausgewählt von Prof. Lic. Hans Lietzmann. 32 S. 0.80 M.

19 Liturgische Texte II: Ordo missae secundum missale romanum, herausgegeben von Prof. Lic. Hans Lietzmann. 23 S. 0.40 M.

20 Antike Fluchtafeln, ausgewählt und erklärt von Prof. Dr. Richard Wünsch. 28. S. 0.60 M.

21 Die Wittenberger u. Leisniger Kastenordnung 1522, 1523, herausgegeben von Prof. Lic. H. Lietzmann. 24 S. 0.60 M.

22/23 Die jüdisch-aramäischen Papyri von Assuan sprachlich und sachlich erklärt von Lic. Dr. W. Staerk. 39 S. 1.00 M.

24/25 Martin Luthers geistliche lieder, herausgegeben von Prof. Dr. Albert Leitzmann. 31. S. 0.60 M.

26/28 Lateinische christliche Inschriften mit einem anhang jüdischer inschriften, ausgewählt und und erklärt von Prof. Dr. Ernst Diehl. 48 S. 1.20 M.

29/30 Res gestae divi Avgvsti, herausgegeben und erklärt von Prof. Dr. Ernst Diehl. 2. Aufl. 40 S. 1.20 M.

31 Zwei neue Evangelienfragmente, herausgegeben und erklärt von H. B. Swete. 15. S. 0.50 M.

32 Aramäische Urkunden zur geschichte des Judentums im VI und V jahrhundert vor Chr., sprachlich und sachlich erklärt von Prof. Lic. Dr. W. Staerk. 16 S. 0.60 M.

33/34 Supplementum Lyricum, neue bruchstücke von Archilochus Alcaeus Sappho Corinna Pindar, ausgewählt und erklärt von Prof. Dr. Ernst Diehl. 2. Aufl. 35. S. 1.20 M.

35 Liturgische Texte III: Die konstantinopolitanische messliturgie vor dem IX jahrhundert. Uebersichtliche zusammenstellung des wichtigsten quellenmaterials von Dr. Anton Baumstark, 16 S. 0.40 M.

36 Liturgische Texte IV: Martin Luthers Von ordnung gottesdiensts, Taufbüchlein, Formula missae et communionis 1523 herausgegeben von Prof. D. Hans Lietzmann. 24 S. 0.60 M.

37 Liturgische texte V: Martin Luthers Deutsche Messe 1526, herausgegeben von Prof. D. Hans Lietzmann. 16 S. 0.40 M.

38/40 Altlateinische Inschriften ausgewählt von Prof. Dr. Ernst Diehl. 64 S. 1.80 M.

41/43 Fasti Consulares Imperii Romani von 30 v. Chr. bis 565 n. Chr. mit kaiserliste und anhang bearbeitet von Prof. Dr. Willy Liebenam. 128 S. 3 M., gbd. 3.40 M.

44/46 Menandri reliquiae nuper repertae herausgegeben von Prof. Dr. Siegfried Sudhaus. 65 S. 1.80 M., gbd. 2.20 M.

47/49 Lateinische altkirchliche Poesie ausgewählt von Prof. D. Hans Lietzmann. 64 S. 1.50 M.

50/51 Urkunden zur Geschichte des Bauernkrieges und der Wiedertäufer herausgegeben von Prof. Dr. H. Böhmer. 36 S. 0.80 M.

52/53 Frühbyzantinische Kirchenpoesie I: Anonyme hymnen des V—VI jahrhunderts ediert von Dr. Paul Maas. 32 S. 0.80 M.

54 Kleinere geistliche Gedichte des XII Jahrhunderts herausgegeben von Albert Leitzmann. 30 S. 0.80 M.

55 Meister Eckharts Buch der göttlichen Tröstung und von dem edlen Menschen (Liber Benedictus), herausgegeben von Prof. Dr. Philipp Strauch. 51 S. 1.20 M.

56 Pompeianische Wandinschriften und verwandtes, ausgewählt von Prof. Dr. Ernst Diehl. 60 S. 1.80 M.

57 Altitalische Inschriften herausgegeben von H. Jacobsohn. 32 S.

58 Altjüdische liturgische Gebete herausgegeben von Prof. D. W. Staerk. 32 S. 1.— M.

59 Der Mišnatraktat Berakhoth in vokalisiertem Text herausgegeben von Prof. D. W. Staerk. 16. S. 0.60 M.

In Vorbereitung befinden sich:

W. Heraeus, Die Taxordnung des Diokletian.
H. v. Arnim, Supplementum Euripideum.
R. Wünsch, Auswahl aus zauberpapyri.
E. Diehl, Inschriften des vulgärlatein.
A. Goetze, Frühneuhochdeutsches glossar.
F. Richter, Lateinische sacralinschriften.
A. Leitzmann, Goethes erste Weimarer gedichtsammlung.
H. Lietzmann, Liturgische Texte VI: Die klementinische liturgie aus Const. apost. VIII.
W. Süss, Aristophanes Frösche mit scholien.
K. Jahn, Edwards Youngs Gedanken über die Originalwerke in einem Schreiben an Samuel Richardson.
W. Staerk und A. Ungnad, Die neuentdeckten oden Salomos.
E. Ziebarth, Aus der antiken schule.
H. Grégoire, griechische christliche inschriften.